οἴνῳ ὀλίγῳ χρῶ, διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. Ἔδει γὰρ τὸν οὐράνιον ἐκεῖνον διδάσκαλον, εἴπερ ἐφρόντιζε Τιμοθέου, ἐπεὶ καθ' ὑμᾶς, πλάσμα ἦν τὸ σῶμα τοῦ πονηροῦ, γράψαι αὐτῷ, ~~μηδαμῶς~~ κέχρησο οἴνῳ, ἵνα θᾶττον ῥαγῇ τὸ πλάσμα τοῦ πονηροῦ, καὶ ἐλευθερωθῇς τοῦ βάρους αὐτοῦ. Καὶ εἰ τὰ σώματα εἰσὶ τοῦ πονηροῦ, πῶς λέγει ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται, ἄνευ τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς; Τί γὰρ μέλει τῷ ἀγαθῷ θεῷ περὶ τῶν πλασμάτων τοῦ πονηροῦ, οἷς οὔτε περίκειται ἀθανασία οὔτε ζωὴ αἰώνιος, οὔτε ἡ βασιλεία τῶν οὐρανῶν; Ἀλλ' ὅτι κτίστης αὐτῶν, καὶ κύριος, καὶ ἐξουσιαστής, διὰ τοῦτο οὐδὲ ταῦτα χωρὶς αὐτοῦ στερίσκεται ζωῆς. Πῶς δὲ καὶ μεγαλυνθήσεται Χριστὸς ἐν τῷ τοῦ Παύλου σώματι, εἴπερ τὸ σῶμα πλάσμα τοῦ πονηροῦ; Καὶ πάλιν αὐτὸς ὁ τοῦ θεοῦ μυστηρίων ὑποφήτης, εἴπερ οὐκ ἦν τὸ σῶμα πλάσμα τοῦ ἐπὶ πάντων θεοῦ, πῶς τὸ σῶμα, καὶ τὸ πνεῦμα, καὶ τὴν ψυχὴν ὁλόκληρον ἐπεύχεται διατηρηθῆναι, καὶ τότε ἐν τῇ τοῦ ~~θεοῦ~~ κυρίου παρουσίᾳ; Λέγει γάρ. Αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς. Καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχή, καὶ τὸ σῶμα, ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διατηρηθείη. Χωρὶς δὲ τούτων εἰ ἄλλης μὲν ἦν ἀρχῆς ἔργον ἡ ψυχή, ἑτέρας δὲ τὸ σῶμα· πῶς ὁ ἀληθὴς ἡμῶν πλάστης καὶ θεὸς ἀπερισπάστους εἶναι βουλόμενος, τοὺς αὐτοῦ νουθετῶν λατρευτάς, παραινεῖ περὶ ἑκατέρου λέγων· μὴ

μερι-

μηδόλως Γ

μαγαλυν-

//